χρήζων ἐπιτηδείων, εἶτα οὐκ ἐῶμαι[в] πρὸς τῆς κάκιστ' ἀπολουμένης αἰδοῦς εἰς τὸ σὸν ὕψος ἀνατεῖναι περὶ τούτων τὴν αἴτησιν· λελυπημένος δέ, ὅτι ἐπὶ σφετέρῳ κακῷ τὴν οὐκ ἀγαθὴν αἰδῶ ταύτην ἔλαχον σύνοικον. Καὶ οὔκουν ἐπ' οὐδενί μοι ξυμφέροντι τὸ ἐρυθριᾶν ἐπανθεῖ· ὅμως ἐπεὶ τῶν οὐκ ἐπαινουμένων ἔστι μοι τὸ αἰδούμενον, ἀπαναιδευτέον[г] ἔνθα τὸ ἀναιδὲς ἀνεπίληπτον, καὶ οὐδὲ τοῦτ' αὐτὸ ἀναιδές, ἀλλ' ἀναγκαία τις ἐξ ἀπαραιτήτου παρρησία ψυχῆς, καὶ ἀπερυθριαστέον ἔνθα τὸ ἀκαίρως ἐρυθριᾶν μωμητόν· καὶ οὐδὲ τοῦτ' ἐκεῖνο ἐρυθριᾶν ἐστιν, ἀλλά τι ἐλάττωμα φυσικὸν ἐν ἀπαρρησιάστῳ διατιθὲν ἀεὶ τὸν αἰσχυντηλόν. Ἀλλ' ὑπέρφευ τοῦ πάθους· ὡς ἀκαταγώνιστον, ὡς ἀήττητον[д], ὃ γὰρ φεύγω, μεταδιώκω, καὶ οὗ καταδρομὴν ποιοῦμαι, τοῦθ' ὑποστρέψαν ὥσπερ καταλαμβάνει με, καὶ πρὸς ὅπερ ἀπεχθῶς ἔχω, σπένδομαι.

Δέον γάρ με τῇ γλώσσῃ χρήσασθαι πρὸς τὴν αἴτησιν, τὴν οὐκ ἀγαθὴν αἰδῶ παρωσάμενον· ἐγὼ δὲ ἄλλα καὶ αὖ πάλιν εὐλαβοῦμαι τὸ πρᾶγμα καὶ τὴν ἐγχείρησιν ἀναδύομαι, καὶ καινοτόμος[е] ὁρῶμαι, καὶ τῇ χειρὶ φθέγγομαι, καὶ δακτύλοις χρῶμαι, ὅσα καὶ ὀργάνοις φωνῆς, ὡς ὑπὸ παραπετάσματι τῷ τῆς γραφῆς ἐδαφίῳ καλύπτων γνώμην ὁμοῦ καὶ γλῶτταν αἰδήμονα.

Καὶ δὴ καί φημι ὅτι τοι περὶ[ж] τὴν προκειμένην ταύτην ὁδὸν χαλκοπόγων ἔδει καὶ τῶν ἵππων ἡμῖν, τῶν τε φορτηγῶν καὶ τῶν ἱππασίμων, οἵους ἄρα καὶ τεθρύλληκεν Ὅμηρος[з], ἢ μᾶλλον ἀπὸ σιδήρου σφυρηλάτων ἐκ κεφαλῆς ἐς λοίσθας ὁπλὰς καὶ ὅλων λαξευτῶν ἐξ ἀδάμαντος, ἢ ἄλλων Πηγάσων τὰ νῶτα καταπτέρων, ὡς ὁ μῦθος τερθρεύεται· οὕτω γὰρ ἂν καὶ τοσαύτης ὁδοῦ ἀπέχρησαν διαστήματι, κἂν ἀκμῆτες πάντῃ διέμειναν, ὡς οἵ γε ἀπὸ τῆς Βύζαντος ἡμᾶς ὧδέ πῃ διασωσάμενοι κεκμήκασιν, ἀπειρήκασι, βουλιμιῶσιν, ἐπισειομένην αὐτοῖς περιφρονοῦσι τὴν μάστιγα, οὐκ ἐπιστρέφονται κέντρων (л. 274) πληττόντων ἑκατέρας πλευράς· τοιγὰρ καὶ πεζεύειν[и] ἀναγκαζόμεθα καὶ ἀποκεχρῆσθαι τοῖς φυσικοῖς ὀχήμασι τῶν ποδῶν, καὶ τῶν κεκμηκότων ἵππων ἰέναι κατόπιν, ὃ δὴ ποιοῦντας καὶ τοὺς ὀνηλάτας ἔστιν ἰδεῖν. Εἰ οὖν τοῦτο δοκοίη καὶ τῷ κυρίῳ μου, στέργω καὶ οἴσω διανύων τὴν ὁδὸν αὐτοποδητί[к], ἀναζωσάμενος ἐς γόνυ θοιμάτ[ι]ον· ἢ μᾶλλον ἀναβαίνοντός σου τὸν ταχὺν ἵππον ἢ τὴν δρομάδα ἡμίονον, τοῖς τῆς σῆς ἐφεστρίδος τελαμῶσι συρράψομαι[л] καί τινι τούτων τὴν ἑτέραν ἐπιβαλὼν ταῖν χεροῖν[м], ὥσπερ τι τῶν φαυλοτέρων ἀνδράποδον, ἄσμενος ἕψομαί σοι πεζῇ καὶ ἐς αὐτάς που τὰς πρώτας τοῦ Ἴστρου ἐκβολὰς καὶ πηγάς, καὶ ὑπερπηδήσω μὲν τὰς μεταξὺ τῆς ὁδοῦ χαράδρας, ὑπεραλοῦμαι δὲ αὐτορύκτους τάφρους καὶ χάσματα, ἀναρριχήσομαι δὲ περὶ τοὺς βουνοὺς καὶ τῷ ἄναντα προσεπιβήσομαι, ῥίψω δεῆσαν καὶ καθ' ὑδάτων καὶ τελμάτων κατατολμήσω καὶ τεναγῶν, καὶ πάντων δράσω προθύμως, ὁπόσα καὶ τοῖς ἀλωνήταις δραπετίσκοις ὁ τῆς δουλείας ἐπιτρέπει θεσμός.

---

[а] *Гесиод. Труды и дни, стк. 317.*
[б] *Новосадский:* 'αγνοῖς
[в] *Новосадский:* ἰῶμαι?
[г] *Новосадский:* 'απαναιδευτέρον
[д] *Э:* 'αήττιτον
[е] *Может быть,* κενοτόμος
[ж] *Может быть,* πρὸς
[з] *Не знаю, где*
[и] *Новосадский:* πλεξεύειν
[к] *Новосадский:* αὐτοποδοτὶ
[л] *Новосадский:* συγγράψομαι
[м] *Новосадский:* χερσοῖν